# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: skw-aw

*Ἐρωτικὰ Ἀδέσποτα* · Erotic Narrative Anonymous

# Daulis

*Δαυλίς*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Μυθιστορία* Fiction
**Format:** *Πεζός* Prose

col1 [25-28] [.................. ] . ε[ .... ]ον . [ .. ]επ[ .... ] [ ............. ]σ[ ... ]τι [φ]οβεῖται γὰρ τ[ .... ] [ ............. ] .. ε[ ... ]ντος ἰδιώτου λ . [ ... ] [space for two lines] [ .................... ] ... [ ... ]λαβόντες πρὸς [ ................. ὕρ]μησαν ἀσεβείας [ ............ τοῖς χρ]ησμοῖς ἐπεχεί[ρησαν .............. τὴν γὰ]ρ Π[υ]θίαν ἀμή[χαν — ................. ] ἀποθεσπίζειν [ ........... χρησ]μωδ[ .... ] μετατιθέντες [ ............... ]κλέπ[τει]ν τὴν ἀπὸ τοῦ [τρίποδος Πυθίαν κ]αὶ τοὺ[ς λ]ογιωτάτους Δελ[φῶν .............. ] ... ἁγ[ν]ὴν ἑστίαν καὶ [ .............. ]μύστη[ν] ἐβιάζοντο τρ . [ .............. ]μμένα [δ]εσμοῖς ἀοράτοις [ ............... ]ς κατοπτεῦσαι καὶ τὴν [ .............. ]σκευ ..... ου λῦσαι [ ............... ] ..... εἵργ[ο]ντος δὲ τοῦ [ .............. ]του ... [ .... σ]πα[σ]άμενος [τὸ ξίφος ὁ τῆς βαρβ]άρου στρατε[ι]ᾶς ἡγεμὼν [ .............. ]ν ἐπ' αὐτὸ[ν]· “καὶ γνώσῃ,” [εἶπεν, ” ............. ]παθὼν κ[αὶ] βιάζῃ μάχ[ε-] [σθαι ............ ὡ]περέχ[ο]ντα. Ἄρης γὰρ [ ............... ] ὧι νῦν ἐγὼ καθώπλισμαι [ ............... ]υτ . τ .. ἐμῆς ὅπλον ἐστί [space for four lines] χαίρει δὲ σφαγαῖς ἀνθρ[ώ]πων, αἷς καὶ ἐγὼ τέρπομαι τῶν ἐκείνωι καθοσιω[μέ]νων σπονδῶν καταρχόμενος.

col2 [blank] καλὸν οὖν αὐτῶι θῦμα τὸν σὸν ἐγὼ φόνον σπείσω.” τοῦ δὲ ταῦτα μετὰ πικρᾶς ἀνατάσεως ἀπειλοῦντος, 〈ὁ προφήτησ〉 ἐπὶ τὴν ἐν τῶι προδόμωι συμφυγὼν ἑστίαν, ἐφ' ἧς τὸ τῆς ἀθανάτου πυρᾶς τεθησαυρισμένον φυλάττεται 〈φ〉 ῶς. “φεῖσαι καὶ μὴ μιάνῃς,” ἔλεγε, “Δαῦλι, τὸ τῆς Θέμιδος ἀρχαῖον ἵδρυμα μηδὲ τὸν ἀναίμακτον σηκὸν σφαγῆι φ[ύ]ρησαι.” “οὐ προσίεμαι λόγον,” εἶπεν ὁ Δαῦλις, ” 〈οὐδ'〉 ἱκέτην, σὺ δὲ τοῖς ἄλλοις ἅπασιν ἃ δεῖ προλέγων ἃ σὲ δεῖ παθεῖν οὔτι ἔγνως. παύσω δὲ πάν[τ]α[ς ἀνθρώπο]υς ψευδέσιν ἐξαπατωμένους χρησ[μ]οῖς. πο[ῖο]ς γὰρ ἐνθάδε νῦν Ἀπόλλων ἢ ποῖος ὀμφαλὸς γῆς δάφνηι καταστεφόμενος τὰ κοινὰ πάν[τω]ν ἀνθρώπων φόβητρα καὶ τῆς ὑμετέρας ἐργας .. [ ... ]εδ .. ατα; ὁ γὰρ Λατοῦς ἐκεῖνος τὸν οὐρανὸν ἔχει, τὴν δὲ γῆν ἡμεῖς· μισθοῦ δ' οὗ 〈ν〉 μαντεύων θεὸς ἀνθρώποις παυσάσθω πεινῶντος ἔργον ἐπιτηδεύων [ .... ] . γόητος· ἀλλὰ ταῦτ' ἐστιν ὑμέτερα σοφίσματ[α πίσ-] τιν ἀπὸ λῃστείας κα[τα]σκευασαμένων. ἐπὶ σοὶ νῦν ποῦ τὸ ἄδυτον ἢ καὶ αὐτὸ καταδέδυκεν; μισῶ δὲ μάντεις ἀ[λ]λοτρίων προφήτας κακῶν δίκτυα χρησμῶν εἰς [ν]ε[ῦ]ρα ἐργασίας πλέκτοντας.” ταῦτα δὲ αὐτοῦ λέγοντος, ὁ προφήτης, “μάντις Ἀπόλλων,” εἶπε, “καὶ Δελφῶν ἑστία καὶ θείωι στόματι προθεσπιζομένη χρησμ[ῶ]ν ἀψευδὴς ἀλήθεια καὶ χάσμα γῆς, χθονίου πνεύματος στόμιον ἐξ οὗ τὴν ἀναφε[ρομένην ἀκούομεν] φωνὴν ἀθανάτω[ν] ὑβριζόμεθα δε[] ἀρρήτου χρησμω[] ται ξίφει καὶ ὀφ[] ὁ τῆς ἀσύλου Θέμ[ιδος] ὑπὸ Διὸς ἄνθρωπο[ς ?] ναὸν κα[ὶ τ]ὴν ὀροφ[ὴν] ἀγηράτοις ἀπόλ[λυσθαι] καὶ κατασβένν[υσθαι] αἵματι τὸ

ἀπὸ τῆ[ς] φῶς ἀλλ’ οὔ τι τ[] ἀσεβείας ἀφήσε[σθαι] κνητος τῆς σῆς η[] ἤδη γὰρ καὶ ὁ πα[τήρ σου .

col3 ....... τόνδε τὸν] τόπον ἐξύβρισε[] θνητὸς παρὰ θε[ὸν ............ ἤ-] δη, Δαῦλ[ι], τέθηκται [τὸ ξίφος] ἔστε[π]τα[ι ἡ] ἑστ[ία] κα[ὶ] καλλιερητ[] τὸν βωμὸν κει[] αἷμα· ἤδη γάρ σε [τίσονται αἱ Ἐρινύες τὸν] ἐμὸν φόνον ἐγ[] δίκης παιδὸς δ[] ἀπαραιτήτουσ[] νυκτὶ πολλῇ κα[] α[ἱ] δ’ ἐ[γ]γὺς ἐφεστη[κυῖαι] καὶ γὰρ [ἀ]γορευον[] ἐκπλήττεις ἤδ[η]

Eulogikon public reading copy · View original HTML at eulogikon.org